# ANCIENT GREEK for EVERYONE
# Unit 15
# BIBLICAL READING

In Jerusalem, the Apostles have been arrested for preaching in Jesus' name. At the trial, a Pharisee lawyer sounds a note of caution about executing them, and gives examples of similar cases in the past:

36 πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ
προσεκλίθη ἀνδρῶν ἀριθμὸς ὡς τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι
ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. 37 μετὰ τοῦτον ἀνέστη Ἰούδας
ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς καὶ ἀπέστησεν λαὸν ὀπίσω αὐτοῦ·
κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. 38 καὶ τὰ
νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ ἄφετε αὐτούς· ὅτι ἐὰν ᾖ
ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται· 39 εἰ δὲ ἐκ θεοῦ
ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτούς—μήποτε καὶ θεομάχοι εὑρεθῆτε.
ἐπείσθησαν δὲ αὐτῷ, 40 καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους δείραντες
παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ καὶ ἀπέλυσαν. 41 οἱ μὲν οὖν
ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ
ὀνόματος ἀτιμασθῆναι· 42 πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ
ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν Χριστόν, Ἰησοῦν.

(Πράξεις Ἀποστόλων 5:36-42)

## VOCABULARY

ἀνῃρέθη < ἀναιρέω kill
ἀπογραφή –ῆς ἡ census
ἀφίστημι take away, draw away
    ἀπόστητε (*command*) keep away from
ἀριθμός –οῦ ὁ number
ἀτιμάζω dishonor, disgrace, devalue
βουλή -ῆς ἡ plan
δείρας –ασα –αν after beating
διδάσκων –ουσα –ον teaching
διαλύω scatter
διεσκορπίζω disperse
ἐὰν ~ εἰ
εὐαγγελιζόμενος –η –ον preaching
εὑρεθῆτε (*a command*) < εὑρίσκω
ᾖ ~ ἐστι
θεομάχος –ου ὁ opponent of God

κἀκεῖνος = καὶ ἐκεῖνος
καταλύω* stop
καταξιόω count worthy
λέγων –ουσα –ον saying
μήποτε never
νῦν now
ὀπίσω behind
ὅσος –η –ον all who
παραγγέλλω order
προσκαλεσάμενος –η –ον after calling for
προσκλίνω join
συνέδριον –ου τό council
τετρακοσίοι –αι –α four hundred
χαίρων –ουσα –ον rejoicing
ὡς *w/ numbers* = "about"

*καταλυθήσεται = κατα + λυ + θη + σ + εται = 3rd sg future indicative passive